## S. IGNATIUS M. Antiochenus († 107/110)

### Epistolae

*Epistola ad Ephesios*

PA I, 218 PG 5, 649 VII, 2. Εἷς ἰατρός ἐστιν, σαρκικός τε καὶ πνευματικός, γεννητὸς καὶ 1
ἀγέννητος, ἐν σαρκὶ γενόμενος θεός, ἐν θανάτῳ ζωὴ ἀληθινή, καὶ ἐκ Μαρίας καὶ
ἐκ θεοῦ, πρῶτον παθητὸς καὶ τότε ἀπαθής, Ἰησοῦς Χριστὸς ὁ κύριος ἡμῶν.

PA I, 226 PG 5, 659 XVIII, 2. Ὁ γὰρ θεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐκυοφορήθη ὑπὸ Μαρίας 2
κατ' οἰκονομίαν θεοῦ « ἐκ σπέρματος » μὲν « Δαυίδ », πνεύματος δὲ ἁγίου·
ὃς ἐγεννήθη καὶ ἐβαπτίσθη, ἵνα τῷ πάθει τὸ ὕδωρ καθαρίσῃ.

XIX. Καὶ ἔλαθεν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου ἡ παρθενία Μαρίας καὶ
ὁ τοκετὸς αὐτῆς, ὁμοίως καὶ ὁ θάνατος τοῦ κυρίου· τρία μυστήρια κραυγῆς,
ἅτινα ἐν ἡσυχίᾳ θεοῦ ἐπράχθη.

*Epistola ad Trallianos*

PA I, 248 PG 5, 681 IX. Κωφώθητε οὖν, ὅταν ὑμῖν χωρὶς Ἰησοῦ Χριστοῦ λαλῇ τις, τοῦ ἐκ 3
γένους Δαυίδ, τοῦ ἐκ Μαρίας, ὃς ἀληθῶς ἐγεννήθη, ἔφαγέν τε καὶ ἔπιεν, ἀληθῶς
ἐδιώχθη ἐπὶ Ποντίου Πιλάτου, ἀληθῶς ἐσταυρώθη καὶ ἀπέθανεν, βλεπόντων
τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ ὑποχθονίων.

---

PA I, 219 PG 5, 650 VII, 2. Medicus autem unus est, et carnalis et spiritualis, geni- 1
tus et ingenitus, in carne exsistens Deus, in morte vita vera, et ex
Maria et ex Deo, primum passibilis et tunc impassibilis, Iesus Chri-
stus Dominus noster.

PA I, 227 PG 5, 660 XVIII, 2. Deus enim noster Iesus Christus in utero gestatus 2
est a Maria iuxta dispensationem Dei *ex semine* quidem *David*, Spi-
ritu autem sancto; qui natus est et baptizatus, ut passione aquam
purificaret.

XIX. Et principem huius mundi latuit Mariae virginitas et
partus ipsius, similiter et mors Domini; tria mysteria clamoris, quae
in silentio Dei patrata sunt.

PA I, 249 PG 5, 682 IX. Obturate igitur aures vestras, cum vobis quispiam loquitur 3
sine Iesu Christo, qui ex genere David, qui ex Maria, qui vere natus
est, edit et bibit, vere persecutionem passus est sub Pontio Pilato,
vere crucifixus et mortuus est, videntibus caelestibus et terrestribus
et subterraneis.

*Epistola ad Smyrnaeos*

4 I. Δοξάζω Ἰησοῦν Χριστὸν τὸν θεὸν τὸν οὕτως ὑμᾶς σοφίσαντα· ἐνόησα γὰρ ὑμᾶς κατηρτισμένους ἐν ἀκινήτῳ πίστει, ὥσπερ καθηλωμένους ἐν τῷ σταυρῷ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ σαρκί τε καὶ πνεύματι καὶ ἡδρασμένους ἐν ἀγάπῃ ἐν τῷ αἵματι Χριστοῦ, πεπληροφορημένους εἰς τὸν κύριον ἡμῶν, ἀληθῶς ὄντα « ἐκ γένους Δαυὶδ κατὰ σάρκα », υἱὸν θεοῦ κατὰ θέλημα καὶ δύναμιν θεοῦ, γεγεννημένον ἀληθῶς ἐκ παρθένου, βεβαπτισμένον ὑπὸ Ἰωάννου, ἵνα « πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ᾽ αὐτοῦ ». PA I, 274 PG 5, 708

## EPISTOLA AD DIOGNETUM (saec. II)

5 XII. 7. Ἤτω σοὶ καρδία γνῶσις, ζωὴ δὲ λόγος ἀληθής, χωρούμενος. 8. Οὗ ξύλον φέρων καὶ καρπὸν αἱρῶν τρυγήσεις ἀεὶ τὰ παρὰ θεῷ ποθούμενα, ὧν ὄφις οὐχ ἅπτεται οὐδὲ πλάνη συγχρωτίζεται· οὐδὲ Εὔα φθείρεται, ἀλλὰ παρθένος πιστεύεται.[1] PA I, 412 PG 2, 1185

## ARISTIDES (saec. II)

### APOLOGIA (ca 140) [2]

6 Cap. VII. [...] Εἰς τοιαύτην οὖν συμφορὰν καὶ ταλαιπωρίαν ἐλθόντας ἡμᾶς οὐ παρεῖδεν ὁ πλάσας καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, οὐδὲ ἀφῆκεν εἰς τέλος ἀπολέσθαι τὸ τῶν χειρῶν αὐτοῦ ἔργον, ἀλλ᾽ εὐδοκίᾳ τοῦ PG 96, 912

---

4 I. Glorifico Iesum Christum Deum, qui vos adeo sapientes reddidit; observavi enim, perfectos vos esse in fide immobili, ut clavis affixos cruci Domini Iesu Christi quoad carnem et animam et stabilitos in caritate per sanguinem Christi, plena firmaque fide credentes in Dominum nostrum vere oriundum *ex genere David secundum carnem*, Filium Dei secundum voluntatem et potentiam Dei, natum vere ex virgine, baptizatum a Ioanne, ut *impleretur ab eo omnis iustitia.* PA I, 275 PG 5, 707

5 XII. 7. Esto tibi cor cognitio, vita autem sermo verus, qui recipitur. 8. Cuius arborem ferens et fructum adipiscens semper metes, quae apud Deum desiderantur, quae serpens non attrectat neque fraus attingit; neque Eva tunc corrumpitur, sed virgo creditur. PA I, 413 PG 2, 1186

6 Cap. VII. [...] Cum igitur in eiusmodi calamitatem ac miseriam venissemus, minime nos despexit is a quo effícti atque in ortum producti fueramus; neque manuum suarum opus funditus perire sivit. PG 96, 911

[1] παρθένος π.] Auctor Evam virginem appellare videtur, Mariam virginem tamquam alteram Evam in mente habens. Cf. IUST., *Dial.*, c. 100; IREN., III, 33, 4 (FUNK).

[2] Exstat in « Vita Barlaam et Ioasaph » in app. op. S. Io. Damasceni (cf. CAYRÉ, I, 131; BARDENHEWER, I, 59; ALTANER, 66).

● PG 96, 861, 1077, 1189.